μετὰ ῥητὸν περιέχουσα

δ ἀπο πα τῇ μέσης ἀποτομῇ δευτέρᾳ μία μόνον προσαρμόζει εὐ-
θεῖα μέση δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ μετὰ δὲ
τῆς ὅλης μέσον περιέχουσα. ἔστω μέσης ἀποτομὴ δευ-
τέρα ἡ ΑΒ. καὶ τῇ ΑΒ προσαρμόζουσα ἡ ΒΓ. αἱ ἄρα
ΑΓ ΓΒ μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι μέσον πε-
ριέχουσαι τὸ ὑπὸ τῶν ΑΓ ΓΒ. λέγω ὅτι τῇ ΑΒ ἑτέρα
οὐ προσαρμόσει εὐθεῖα μέση δυνάμει μόνον σύμμε-
τρος οὖσα τῇ ὅλῃ. μετὰ δὲ τῆς ὅλης μέσον περιέχου-
σα. εἰ γὰρ δυνατόν, προσαρμοζέτω ἡ ΒΔ. αἱ ΑΔ
ΔΒ ἄρα μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι μέσον
περιέχουσαι τὸ ὑπὸ τῶν ΑΔ ΔΒ. καὶ ἐκκείσθω ῥητὴ
ἡ ΕΖ. καὶ τοῖς μὲν ἀπὸ τῶν ΑΓ ΓΒ ἴσον παρὰ τὴν ΕΖ
παραβεβλήσθω τὸ ΕΗ πλάτος ποιοῦν τὴν ΕΜ.
τῷ δὲ δὶς ὑπὸ τῶν ΑΓ ΓΒ ἴσον ἀφῃρήσθω τὸ ΘΗ
πλάτος ποιοῦν τὴν ΘΜ. λοιπὸν ἄρα τὸ ΕΛ ἴσον
ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ. ὥστε ἡ ΑΒ δύναται τὸ ΕΛ. πάλιν
δὴ τοῖς ἀπὸ τῶν ΑΔ ΔΒ ἴσον παρὰ τὴν ΕΖ πα-
ραβεβλήσθω τὸ ΕΙ πλάτος ποιοῦν τὴν ΕΝ. ἔστι δὲ
καὶ τὸ ΕΛ ἴσον τῷ ἀπὸ τῆς ΑΒ τετραγώνῳ. λοιπὸν
ἄρα τὸ ΘΙ ἴσον ἐστὶ τῷ δὶς ὑπὸ τῶν ΑΔ ΔΒ. καὶ ἐπεὶ
μέσαι εἰσὶν αἱ ΑΓ ΓΒ. μέσα ἄρα ἐστὶ
καὶ τὰ ἀπὸ τῶν ΑΓ ΓΒ. καί ἐστιν ἴσα τῷ ΕΗ. μέσον ἄρα
καὶ τὸ ΕΗ καὶ παρὰ ῥητὴν τὴν ΕΖ παράκειται πλά-
τος ποιοῦν τὴν ΕΜ. ῥητὴ ἄρα ἐστὶν ἡ ΕΜ καὶ ἀ-
σύμμετρος τῇ ΕΖ μήκει. πάλιν ἐπεὶ μέσον ἐστὶ τὸ

ὑπὸ τῶν ΑΓ ΓΒ μέσον ἐστί· καὶ ἐστὶν
ὑπὸ τῶν ΑΓ ΓΒ. καὶ τὸ δὶς ὑπὸ τῶν [illegible] ἐστὶ καὶ παρα[illegible]
τῷ ΘΗ
ἴσον· καὶ τὸ ΘΗ ἄρα μέσον ἐστὶ καὶ παρὰ ῥητὴν τὴν ΕΖ
παράκειται πλάτος ποιοῦν τὴν ΘΜ. ῥητὴ ἄρα ἐστὶ
καὶ ἡ ΘΜ καὶ ἀσύμμετρος τῇ ΕΖ μήκει. καὶ ἐπεὶ αἱ ΑΓ ΓΒ
δυνάμει μόνον σύμμετροί εἰσιν. ἀσύμμετρος ἄρα ἐστὶν
ἡ ΑΓ τῇ ΓΒ μήκει. ὡς δὲ ἡ ΑΓ πρὸς τὴν ΓΒ. οὕτως
ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΑΓ πρὸς τὸ ὑπὸ τῶν ΑΓ ΓΒ. ἀ-
σύμμετρον ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΑΓ τῷ ὑπὸ τῶν ΑΓ
ΓΒ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΑΓ σύμμετρά ἐστι τὰ ἀπὸ
τῶν ΑΓ ΓΒ. τῷ δὲ ὑπὸ τῶν ΑΓ ΓΒ. σύμμετρόν ἐστι
τὸ δὶς ὑπὸ τῶν ΑΓ ΓΒ. ἀσύμμετρα ἄρα ἐστὶ τὰ ἀ-
πὸ τῶν ΑΓ ΓΒ τῷ δὶς ὑπὸ τῶν ΑΓ ΓΒ. καί ἐστι τοῖς
μὲν ἀπὸ τῶν ΑΓ ΓΒ ἴσον τὸ ΕΗ. τῷ δὲ δὶς ὑπὸ τῶν
ΑΓ ΓΒ ἴσον τὸ ΘΗ. ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΕΗ τῷ ΘΗ.
ὡς δὲ τὸ ΕΗ πρὸς τὸ ΘΗ. οὕτως ἐστὶν ἡ ΕΜ πρὸς τὴν ΘΜ.
ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΕΜ τῇ ΜΘ μήκει. καί εἰσιν
ἀμφότεραι ῥηταί. αἱ ΕΜ ΜΘ ἄρα ῥηταί εἰσι δυνά-
μει μόνον σύμμετροι. ἀποτομὴ ἄρα ἐστὶν ἡ ΕΘ. προσαρ-
μόζουσα δὲ αὐτῇ ἡ ΘΜ. ὁμοίως δὴ δείξομεν ὅτι
καὶ ἡ ΘΝ αὐτῇ προσαρμόζει. τῇ ἄρα ἀποτομῇ ἄλλη
καὶ ἄλλη προσαρμόζει εὐθεῖα ῥητὴ δυνάμει μόνον σύμ-
μετρος οὖσα τῇ ὅλῃ. ὅπερ ἐστὶν ἀδύνατον. τῇ ἄρα
μέσης ἀποτομῇ
δευτέρᾳ. μία
μόνον προσαρ-
μόζει εὐθεῖα μέση



BIBLIOTHECA · BODLEIANA

EUCLID Elementa BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo